# 1. Chronika 25

Septuaginta (LXX)

**1** καὶ ἔστησεν δαυιδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τῆς δυνάμεως εἰς τὰ ἔργα τοὺς υἱοὺς ασαφ καὶ αιμαν καὶ ιδιθων τοὺς ἀποφθεγγομένους ἐν κινύραις καὶ ἐν νάβλαις καὶ ἐν κυμβάλοις καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν αὐτῶν ἐργαζομένων ἐν τοῖς ἔργοις αὐτῶν

**2** υἱοὶ ασαφ ζακχουρ καὶ ιωσηφ καὶ ναθανιας καὶ εραηλ υἱοὶ ασαφ ἐχόμενοι ασαφ τοῦ προφήτου ἐχόμενοι τοῦ βασιλέως

**3** τῷ ιδιθων υἱοὶ ιδιθων γοδολια καὶ σουρι καὶ ισαια καὶ σεμεϊ καὶ ασαβια καὶ ματταθιας ἓξ μετὰ τὸν πατέρα αὐτῶν ιδιθων ἐν κινύρᾳ ἀνακρουόμενοι ἐξομολόγησιν καὶ αἴνεσιν τῷ κυρίῳ

**4** τῷ αιμανι υἱοὶ αιμαν βουκιας καὶ μανθανιας καὶ αζαραηλ καὶ σουβαηλ καὶ ιεριμωθ καὶ ανανιας καὶ ανανι καὶ ηλιαθα καὶ γοδολλαθι καὶ ρωμεμθι-ωδ καὶ ιεσβακασα καὶ μαλληθι καὶ ωθηρι καὶ μεαζωθ

**5** πάντες οὗτοι υἱοὶ τῷ αιμαν τῷ ἀνακρουομένῳ τῷ βασιλεῖ ἐν λόγοις θεοῦ ὑψῶσαι κέρας καὶ ἔδωκεν ὁ θεὸς τῷ αιμαν υἱοὺς δέκα τέσσαρας καὶ θυγατέρας τρεῖς

**6** πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν ὑμνῳδοῦντες ἐν οἴκῳ κυρίου ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις ἐχόμενα τοῦ βασιλέως καὶ ασαφ καὶ ιδιθων καὶ αιμανι

**7** καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν μετὰ τοὺς ἀδελφοὺς αὐτῶν δεδιδαγμένοι ᾄδειν κυρίῳ πᾶς συνίων διακόσιοι ὀγδοήκοντα καὶ ὀκτώ

**8** καὶ ἔβαλον καὶ αὐτοὶ κλήρους ἐφημεριῶν κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν τελείων καὶ μανθανόντων

**9** καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος υἱῶν αὐτοῦ καὶ ἀδελφῶν αὐτοῦ τῷ ασαφ τῷ ιωσηφ γοδολια ὁ δεύτερος ηνια ἀδελφοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ δέκα δύο

**10** ὁ τρίτος ζακχουρ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**11** ὁ τέταρτος ιεσδρι υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**12** ὁ πέμπτος ναθανιας υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**13** ὁ ἕκτος βουκιας υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**14** ὁ ἕβδομος ισεριηλ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**15** ὁ ὄγδοος ιωσια υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**16** ὁ ἔνατος μανθανιας υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**17** ὁ δέκατος σεμεϊ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**18** ὁ ἑνδέκατος αζαρια υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**19** ὁ δωδέκατος ασαβια υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**20** ὁ τρισκαιδέκατος σουβαηλ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**21** ὁ τεσσαρεσκαιδέκατος ματταθιας υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**22** ὁ πεντεκαιδέκατος ιεριμωθ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**23** ὁ ἑκκαιδέκατος ανανιας υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**24** ὁ ἑπτακαιδέκατος ιεσβακασα υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**25** ὁ ὀκτωκαιδέκατος ανανι υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**26** ὁ ἐννεακαιδέκατος μελληθι υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**27** ὁ εἰκοστὸς ελιαθα υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**28** ὁ εἰκοστὸς πρῶτος ηθιρ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**29** ὁ εἰκοστὸς δεύτερος γοδολλαθι υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**30** ὁ τρίτος καὶ εἰκοστὸς μεαζωθ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο

**31** ὁ τέταρτος καὶ εἰκοστὸς ρωμεμθι-ωδ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δέκα δύο



Druckausgabe erzeugt am 05.08.2025 auf bibelkommentare.de